Μάρδων, Θάρυβις, λόγχης ἄκμονες,
καὶ ἀκοντισταὶ Μυσοί· Βαβυλὼν δ᾽
ἡ πολύχρυσος πάμμεικτον ὄχλον
πέμπει σύρδην, ναῶν τ᾽ ἐπόχους,
καὶ τοξουλκῷ λήματι πιστούς·
τὸ μαχαιροφόρον τ᾽ ἔθνος ἐκ πάσης
Ἀσίας ἕπεται
δειναῖς βασιλέως ὑπὸ πομπαῖς.
τοιόνδ᾽ ἄνθος Περσίδος αἴας
οἴχεται ἀνδρῶν,
οὓς πέρι πᾶσα χθὼν Ἀσιᾶτις
θρέψασα πόθῳ στένεται μαλερῷ,
τοκέες τ᾽ ἄλοχοί θ᾽ ἡμερολεγδὸν
τείνοντα χρόνον τρομέονται.

(Chorus)

*str.* 1. πεπέρακεν μὲν ὁ περσέπτολις ἤδη
βασίλειος στρατὸς εἰς ἀν-
τίπορον γείτονα χώραν,
λινοδέσμῳ σχεδίᾳ πορθμὸν ἀμείψας
Ἀθαμαντίδος Ἕλλας,
πολύγομφον ὅδισμα
ζυγὸν ἀμφιβαλὼν αὐχένι πόντου.
*antistr.* 1. πολυάνδρου δ᾽ Ἀσίας θούριος ἄρχων

53. ἄκμονες: ἀκίνητοι ὑπὸ λόγχης, ὡς ἄκμων ὑπὸ σφυρῶν. 57. ἀντὶ τοῦ ἐμπείρους τοξικῆς. 58. κοινῶς ἁπάντων Περσῶν. 60. προτροπαῖς. 65. ἡμερόλεγδον: τὸ ἐκ τῶν ἀριθμῶν (l. ἡμερῶν) καταριθμούμενον, παρὰ τὸ ἡμέρας καὶ τὸ λέξασθαι. μακραῖς ἡμέραις λεγόμενον. 66. μηκυνόμενον. 67. κωμῳδεῖται ταῦτα. Εὔπολις ἐν Μαρικᾷ· πεπέρακε μὲν ὁ περσέπτολις ἤδη Μαρικᾶς. 69. τὴν Εὐρώπην. 70. ὡς λινῶν τῶν κάλων ὄντων. 72. γρ. ἔρεισμα· τὴν ναῦν. ἐγεφύρωσε γὰρ τὸ ἑπταστάδιον ταῖς ναυσὶ συνδήσας αὐτὰς καὶ γῆν ἐπιβαλών, ὥστε ὁδὸν ποιῆσαι ἐπὶ τῶν νεῶν. διὸ πολύγομφον ὅδισμα εἶπεν. 73. ζεύξας νεῶν τὴν θάλασσαν.

---

55. πάμμικτον M. 63. ἀσιῆτισ M. 69. χώρασ (ν above σ) M.